γεωργός τις γηράσας ἐπ' ἀγρῷ, μηδέπω ἐς πόλιν εἰσ-
ελθὼν παρεκάλει τοὺς ἰδίους τὴν πόλιν θεάσασθαι. οἱ
δὲ οἰκεῖοι αὐτοῦ ἔζευξαν ἅμαξαν καὶ ὀνάρια, εἰπόν-
τες, ἔλαυνε μόνον. καὶ αὐτά σε ἐν ἔθει ὄντα καταστή-
σει ἐς τὴν πόλιν. χειμῶνος δὲ ἤδη γινομένου σκοτώδους
κατὰ τὴν ὁδὸν τὰ ὀνάρια πλανηθέντα εἰσῆλθον ἐς τινα
τόπον ἀπόκρημνον. ὁ δὲ τὸν ἴδιον θεασάμενος κίνδυ-
νον, ἔφη, ὦ Ζεῦ, τί σε ἠδίκησα, ὅτι οὕτως ἀπόλλυ-
μαι, καὶ ταῦτα οὐχ ὑπὸ ἵππων ἐντίμων, οὔτε ἡμιό-
νων γενναίων, ἀλλ' ὑπὸ ὀναρίων ἐλαχίστων. κἀγὼ δὲ
πάλιν ταὐτὰ δυσφορῶ, ὡς οὐχ ὑπὸ ἐντίμων ἢ ἐλλο-
γίμων ἀνδρῶν, ἀλλ' ὑπὸ ἀχρείων καὶ κακίστων δούλων
ἀπόλλυμαι. γυνή τις εἶχε θυγατέρα παρθένον μωράν.
πάντοτε οὖν ηὔχετο τῇ θεᾷ, νοῦν αὐτῇ χαρίσασθαι. εὐ-

χομένης